CAPVT VI.

COmmunio autem maris, vtrum vtilis ſit ciuitatibus vel damnoſa, permultæ ſunt diſceptationes. Nam & frequentare aduenas quoſdam, alienis educatos legibus, inutile putant ad rectam ciuitatis diſciplinam, & turbam popularem multiplicari ex vſu maris, tranſmittentibus ac recipiẽtibus negociatorum multitudinem, contrarium eſſe dicunt rectæ ciuium inſtitutioni. Quòd igitur, ſi iſta non contingant, melius ſit & ad ſecuritatem & ad copiam rerũ neceſſariarum, cõmunione maris habere vrbem & regionem, nõ eſt obſcurum, nam ad facilius ferendum hoſtes, peropportuna facultas ſuccurrendi auxiliandíq. ſuis terra & mari eſſe debet, & ad nocendum inuadentibus, ſi non vtrinque poſſibile, at altera ex parte magis exiſtit ambarum participantibus. Et quæ apud eos non exiſtunt, importari, & quæ ſuperabundant, deportari ex neceſſariis eſt, ſibi enim ipſi mercabilem non aliis ciuitatẽ eſſe oportet. Qui autem omnibus mercatum apud ſe præbent, hi faciunt quæſtus cupiditate, quòd ſi non expedit ciuitati hanc cupiditatem habere, neque mercatũ certè huiuſmodi debet recipere. Nam & nunc quidem videmus multis regionibus & ciuitatibus ſtationes ac portus opportunè iacere: vt neque intra vrbem ſint, neq. valde diſtantes, muriſque circundari, & aliis huiuſcemodi munitionibus. Clarum eſt enim, quòd ſi quid boni proueniet ex tali communione, ciuitas id bonum ſuſcipiet: ſin aliquid mali, caueri ab eo facile erit per leges iubentes ac determinantes, quos oportet, & quos non oporteat inuicẽ admiſceri. De nauali autem potẽtia, quòd melius ſit eam habere vſque ad aliquam quantitatem, manifeſtum eſt, non ſolùm enim ſibiipſis, ſed & finitimis quibuſdam oportet & auxiliari poſſe, & eſſe terrori, quemadmodum terra ſic etiam mari. Magnitudo autem & multitudo huius potentiæ, ad mores ciuitatis erit accommodanda, nam ſi ea fuerit ciuitas, quæ magnam præſtantiam authoritatémque habere conſueuerit, neceſſarium erit hanc potentiam rebus eſſe conformem. Turbam verò nauticam, & huiuſmodi hominum multitudinem, non neceſſarium eſt ciuitatibus exiſtere. nulla enim ciuitatis pars huiuſmodi homines eſſe debent.

A Κεφάλαιον ϛ

Περὶ δὲ τῆς πρὸς τὴν θάλατταν κοινωνίας, πότερον ὠφέλιμος ταῖς εὐνομουμέναις πόλεσιν, ἢ βλαβερά, πολλὰ τυγχάνουσιν ἀμφισβητοῦντες· τό τε γὰρ ἐπιξενοῦσθαί τινας ἐν ἄλλοις τεθραμμένοις νόμοις, ἀσύμφορον εἶναί φασι πρὸς τὴν εὐνομίαν, καὶ τὴν πολυανθρωπίαν γίνεσθαι μὲν γὰρ ἐκ τοῦ χρῆσθαι τῇ θαλάσσῃ, διαπέμποντας καὶ δεχομένοις

B ἐμπόρων πλῆθος, ὑπεναντίαν δ' εἶναι πρὸς τὸ πολιτεύεσθαι καλῶς. ὅτι μὲν οὖν εἰ ταῦτα μὴ συμβαίνει, βέλτιον καὶ πρὸς ἀσφάλειαν, καὶ πρὸς εὐπορίαν τῶν ἀναγκαίων μετέχειν τὴν πόλιν καὶ τὴν χώραν τῆς θαλάττης, οὐκ ἄδηλον. καὶ γὰρ πρὸς τὸ ῥᾷον φέρειν τοὺς πολεμίους, εὐβοηθήτους εἶναι δεῖ καὶ ἀμφοτέρα τοῖς σωθησομένοις, καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν· καὶ

C πρὸς τὸ βλάψαι τοὺς ἐπιτιθεμένους, εἰ μὴ κατ' ἄμφω δυνατόν, ἀλλὰ κατὰ θάτερον ὑπάρξει μᾶλλον, ἀμφοτέρων μετέχουσιν. ὅσα τ' ἂν μὴ τυγχάνῃ παρ' αὐτοῖς ὄντα, δέξασθαι ταῦτα, καὶ τὰ πλεονάζοντα τῶν γιγνομένων ἐκπέμψασθαι τῶν ἀναγκαίων ἐστίν· αὑτῇ γὰρ ἐμπορικήν, ἀλλ' οὐ τοῖς ἄλλοις δεῖ εἶναι τὴν πόλιν· οἱ δὲ παρέχοντες σφᾶς αὐτοὺς πᾶσιν

D ἀγοράν, προσόδου χάριν ταῦτα πράττουσιν. ἣν δὲ μὴ δεῖ πόλιν τοιαύτης μετέχειν πλεονεξίας, οὐδ' ἐμπόριον δεῖ κεκτῆσθαι τοιοῦτον. ἐπεὶ δὲ καὶ νῦν ὁρῶμεν πολλαῖς ὑπάρχον καὶ χώραις καὶ πόλεσιν ἐπίνεια καὶ λιμένας, εὐφυῶς κείμενα πρὸς τὴν πόλιν, ὥστε μήτε τὸ αὐτὸ νέμειν ἄστυ, μήτε πόρρω λίαν, ἀλλὰ κρατεῖσθαι τείχεσι, καὶ τοιούτοις ἄλλοις ἐρύμασι· φανερόν, ὡς εἰ μὲν ἀγα-

E θόν τι συμβαίνει γίγνεσθαι διὰ τῆς κοινωνίας αὐτῶν, ὑπάρξει τῇ πόλει τοῦτο τὸ ἀγαθόν· εἰ δέ τι βλαβερόν, φυλάξασθαι ῥᾴδιον τοῖς νόμοις, φράζοντας καὶ διορίζοντας, τίνας οὐ δεῖ, καὶ τίνας ἐπιμίσγεσθαι δεῖ πρὸς ἀλλήλοις. περὶ δὲ τῆς ναυτικῆς δυνάμεως, ὅτι μὲν βέλτιστον ὑπάρχειν μέχρι τινὸς πλήθους, οὐκ ἄδηλον. οὐ γὰρ μόνον αὑτοῖς, ἀλλὰ καὶ τῶν

F πλησίον τισὶ δεῖ καὶ φοβεροὺς εἶναι, καὶ δύνασθαι βοηθεῖν, ὥσπερ κατὰ γῆν, καὶ κατὰ θάλατταν. περὶ δὲ πλήθους ἤδη καὶ μεγέθους τῆς δυνάμεως ταύτης πρὸς τὸν βίον ἀποσκεπτέον τῆς πόλεως. εἰ μὲν γὰρ ἡγεμονικὸν καὶ πολιτικὸν ζήσεται βίον, ἀναγκαῖον καὶ ταύτην τὴν δύναμιν ὑπάρχειν πρὸς τὰς πράξεις σύμμετρον. τὴν δὲ πολυανθρωπίαν τὴν γιγνομένην περὶ τὸν ναυτικὸν ὄχλον, οὐκ ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσιν. οὐθὲν γὰρ αὐτοὺς μέρος εἶναι δεῖ τῆς πόλεως.